881
H8o.Yℓu2

LUDWICH

SCHOLIA IN HOMERI
ODYSSEAE

UNIVERSITY OF ILLINOIS
AT URBANA-CHAMPAIGN

NOTICE: Return or renew all Library Materials! The *Minimum* Fee for each Lost Book is $50.00.

The person charging this material is responsible for its return to the library from which it was withdrawn on or before the **Latest Date** stamped below.

Theft, mutilation, and underlining of books are reasons for disciplinary action and may result in dismissal from the University.
To renew call Telephone Center, 333-8400

UNIVERSITY OF ILLINOIS LIBRARY AT URBANA-CHAMPAIGN

Lamar U
3-29-04

CLASSICS

L161—O-1096

ACAD. ALB. REGIM. 1888. II.

SCHOLIA IN HOMERI ODYSSEAE

A 44—63

AVCTIORA ET EMENDATIORA

AB

ARTHVRO LVDWICH

EDITA

AD CELEBRANDAM DIEBVS XI M. MARTII XXI et XXIII M. MAII
XXIII M. IVNII MEMORIAM VIRORVM ILLVSTRIVM

IACOBI FRIDERICI DE RHOD
FRIDERICI DE GROEBEN
ABELI FRIDERICI DE GROEBEN
IOANNIS DITERICI DE TETTAV.

REGIMONTII
EX OFFICINA HARTVNGIANA.
1888.

Codicibus a me ipso excussis, quos in primo huius operis specimine enumeravi, unus accessit Palatinus 45 (P) intercedente Gustavo Uhlig liberaliter a Carolo Zangemeister, praefecto bibliothecae Heidelbergensi, nuper Regimontium missus. Amanuensis, cui istud Odysseae exemplum minime contemnendum debemus, et nomen suum et aetatem indicare voluit (folio 224^{v}) his versibus nec venustis nec, si fas esset talem scripturam emendare, emendatu difficilibus:

Τέρμ' ἴδ' ἔλαβε μόγῳ ῥὰ ἀγάκλυτος ἥδ' ὀδυσεῖα,
βίβλος γ', ἥντινα γέγλαφε παλαγᾶνος χερ' ἰδίη, sic
ὅς ῥὰ μάλ' ἀσκηθεὶς ἦ πατρίδι γαία ἱδρούσῃ
μουσάων γόνος εὐφραδέως τελέθων ἐνέφηνε,
διστριχίλι' ἐτάων προθεόντων ἑπτακοσίων 6709 = 1201 p. Chr. n.
εἰνάτω ἐπι τοῖσδέ γ' ἔτει συνέποντι νὺ μᾶλλον, sic
μηνὶ ἂρ αὐγούστω ἰνδικτιόνι τε τετάρτη.

quibus rubro pigmento hunc de Homero addidit:

τυφλὸς γέρων ἔγραψε τοῖς νέοις πόνοις.

(Palagani nomen iis addas, quorum indicem V. Gardthausen *Griechische Paläographie* p. 311 sqq. composuit.) Sed scholia longe plurima a recentioribus manibus adscripta esse constat, quas ut accuratius dignoscant oculatiores sibi sumant. Equidem in re tam difficili ac lubrica satius duxi nihil nisi certiora novare: quare eam manum, quam posse Palagani esse vidi (P^{1}), a ceteris (P) et ab extremis (P^{r}) siglorum diversitate separavi. Unum iam hac occasione oblata commemoro, pretiosissimas libri nostri adnotationes praecipue ad rhapsodias *δ ε ζ η* adspersas ab una eademque manu eo fere tempore esse exaratas, quo librarius H suas Harleiano adpinxit, quibuscum eaedem etiam indole artissime cohaerent. Attamen in cetera quoque farragine adnotationum plerumque tanta est Palatinorum scholiastarum scripturae similitudo, ut exempli gratia ne eum quidem, qui Tzetzae adnotamentum ad *Ἀχιλλῆος δ* 5 pertinens et alia eiusdem auctoris in codicem nostrum retulit, diversa nota significare ausus sim.

α 44 *τὸν*] *ἤγουν τὸν Δία.* M^{c} P.

ἠμείβετ'] *καὶ ἀπεκρίνατο.* M^{c}.

Ἀθήνη] *φρόνησις ἄρχουσα τοῦ λογισμοῦ.* M^{a}. *οἱ συγκάθεδροι καὶ φρόνιμοι τοῦ Μέντου.* Y. *Ἀθηνᾶν δὲ νοήσεις ἐντεῦθεν πραγματικῶς τοὺς ὄντας ἀμφὶ τὸν Μέντην· ἐκεῖνοι γὰρ ἔκρινον, ὅτι ὅσα ἔπαθεν ὁ Αἴγισθος ἄξια ἔπαθεν· ἔτι δὲ καὶ ἄλλοι, ὅσοι τὰ τοιαῦτα ῥέζουσιν, εἴθε ἀπόλοιντο οὕτως ὡς ὁ Αἴγισθος.* Y.

1 *τὸν ἑρμείαν*, quod habebat M^{a}, delevit M^{c}. — 3 Qua de causa adnotamenti Porphyriani eam partem, quae in H ad *γλαυκῶπις* exstat, ab hoc loco ad vs. 69 ablegaverim, infra suo loco exponam. — *ἄρχουσα*] *ἄρ*^{χ} M^{a}.

45 *Κρονίδη*] *υἱὲ τοῦ Κρόνου.* M^{a}.

ὕπατε: ἐνδοξόταιε. P^{1} V. *ὑψηλόταιε.* M^{1}. *ὑπερέχων.* D M^{a} P^{1} V. *ἐξοχώταιε.* H Q. *ἔξοχε βασιλεῦ.* Y.

κρειόντων: βασιλέων. M^{1} V Y. *ἀρχόντων.* Mª V. *ἢ βασιλευόντων.* M^{a}.

46 *καὶ λίην: πάνυ μὲν οὖν.* H M^{a} Q V. *λίαν.* P^{1}.

κεῖνος] *ἀφαίρεσις.* Y. — *καὶ ἐκεῖνος, ἤγουν Αἴγισθος.* Y.

ἐοικότι: ὁμοίῳ. H M^{a} P^{1} Q V. *ἁρμοδίῳ.* Y. *πρέποντι.* E H M^{a} P Q T Y. *πρεπώδει.* D.

ὀλέθρῳ: θανάτῳ. E M^{a} P^{1} V. *ἀφανισμῷ.* Y.

[*φασὶ*] *τὸν Δία περὶ αὐτοῦ τοῦ Αἰγίσθου εἰπεῖν ὡς ἐπὶ φωνῇ τῇ αὐτῇ τὸ „λίην κεῖνός γε ἐοικότι κεῖται ὀλέθρῳ“. ἔπειτα οἰκείως τὴν κατὰ Καλυψοῦς ἔντευξιν ποιεῖται ὅτι καὶ αὐτὴ γάμον ἀθέσμως διῖστη ὡς κατέχουσα τὸν Ὀδυσσέα. πείθει οὖν τὸν Δία πέμψαι δικαίως* [*πρὸς*] *τὴν Καλυψὼ τὸν Ἑρμείαν ὡς ἐπὶ Αἰγίσθῳ.* M^{a}.

47 *ὣς*] *οὕτως.* Mª Y. — *ἀντὶ τοῦ εἴθε.* E Mª Y. — *ἐνδιάθετον.* D E.

ὄλλοιτο] *γρ' „ἀπόλοιτο“.* P.

ὡς ἀπόλοιτο καὶ ἄλλος: ἐμφαίνει τοὺς μνηστῆρας. H M^{a} P^{1} Q V.

ῥέζοι: ἐπιτελοίη παρὰ τὸ αἷμα πράττων. V. *ἐπιτελεῖ.* Mª P. *πράττει.* M^{a} P Y. *γνωμικόν.* Mª P. *ἠθικόν.* M^{b}.

48 *ἀμφ' Ὀδυσῆι*] *περὶ τοῦ Ὀδυσσέως.* E H P.

δαΐφρονι: πολεμόφρονι. H Mª V. *δαΐς γὰρ ἡ μάχη. ὅταν δὲ ἐπὶ τῆς Πηνελόπης λέγῃ, δεδαηκυῖα κατὰ φρένας, τουτέστι μεμαθηκυῖα, ἐξ οὗ τὴν συνετὴν καὶ σώφρονα βούλεται δηλοῦν.* Mª V. *τῷ περὶ μάχην ἐμπείρῳ.* T. *περὶ τοῦ πολεμικὸν φρόνημα ἔχοντος.* M^{a}. *πολεμικῷ.* P^{1}. *συνετῷ.* D E.

δαίεται: διακόπτεται. D E H M^{a} P Q V Y. *τὸ γὰρ „καίεται“ ἐπὶ ἐρώσης.* D E M^{1} P V. *λυπεῖται.* M^{a}. *μερίζεται.* M^{c} P.

ἦτορ] *καὶ ἡ ψυχή μου.* M^{c} P^{1} Y.

---

2 lm. V. — *τῶν βασιλέων* ante *ὑπερέχων* add. P^{1}: cfr. lin. 4. — 4 et 5 lm. V. — *τῶν* ante *βασιλέων* add. Y, ante *ἀρχόντων* M^{a}. — *βασιλεύων* V^{u}. — 6 *ὁ Αἴγισθος* etiam D M^{a}. — 7 et 8 lm. V. — *τῷ ὁμοίῳ* M^{a}. — *πρέποντι ὁμοίῳ* H Q. — *καὶ πρέποντι* Y, quo in codice olim sequebatur vox a *κ* incipiens, postea a librario ipso deleta. — 9 *φασὶ* e coniectura dedi: in cod. nunc ne vestigia quidem certa huius vocis supersunt. — *ὡς ἐπὶ φωνῇ τῇ αὐτῇ* M^{a}: nescio an corrigendum sit *ὡς ἐπιφωνῆται αὐτῷ.* — 11 *ἀθέσμως*] nunc nihil nisi *αθεσμω* clarum in M^{a}, ubi etiam *ὡς* minime certum. — *δῖα πέμψῃ δικαίως τὴν καλυψὼ τὸν ἑρμῆαν* M^{a}, quod correxi. — 13 *ἀντὶ τοῦ* om. Mª Y. — 14 *ἀπόλοιτο*] *ἀπόλλοιτο* P. — 15 lm. Mª V. — *ὡς* V^{m}, *ΩΣ* V^{a}. — *ἐκφαίνει* P^{1}. — 16 *ῥέζῃ* V^{m}. — *ἐπιτελὴς* (sic) etiam D. — *πράττοι* V^{m}. — *ἐπιτελοῖ* M^{a}. Erant qui *ῥέζοι* pro *ῥέζοι* legerent. — *πράττει*] *πρᾷ* M^{a}. — 17 *γνωμικόν* vel *γνώμη* in codicibus saepissime sententiis Homericis adscriptum, quod semel commemorasse satis habeo. — 18 *τοῦ ὀδυσσῆος* H, *τὸν ὀδυσέα* P. — 19 lm. Mª V. — *πολεμόφρονι*] *πολεμοφρονεῖ* H. — *δαΐς* [sic] *ἡ μάχη* etiam P^{1}. — *δαΐς*] *δὶς* V^{a}. — *ὅτ' ἂν* V^{muw}. — *Πηνελόπης*] *'immo de Euryclea coniuge Laertae o 356'* Buttm. Eundem errorem recurrere apud Et. M. 245, 15 et Eust. 1500, 41 iam Barnes monuerat: addo Cramer. An Ox. I 116, 4. Et. Gud. 133, 20. schol. Iliad. *B* 23. — 20 *δεδαηκυῖα* V^{a} (*δεδαηκυῖα* Buttm., quod correxi), *δεδαηκυίη* (*ι*) M^{a} V^{ou}, *δεδαηκυίη* V^{muw}. — *καταφρένας* V^{amuw}, *κατὰ τὰς φρένας* M^{a}. — *τουτ' ἔστι* V^{u}. — *μεμαθηκυῖα* scripsi cum Buttmanno: *μεμαθηκυίη* (*ι*) M^{a} V^{amouw}, *μεμαθηκυίης* vulgo. — *ἐξ οὗ*] *δι' οὗ* coni. Polak Cur. soc. p. 26. — *δηλοῦν*] *δεῖξαι* M^{a}. — 21 *τῷ*] *τὴν* T. — *πολεμικὸν* emendavi pro *πολεμικοῦ*. — 22 *συνετῷ*] *τοῦ συνετοῦ* E. — 23 lm. Mª V. — *ἤγουν* ante *διακόπτεται* add. E. — *κόπτεται* M^{a}, qui et hoc et litteras sequentes *τὸ γὰρ καί* in ras. exaravit: certe M^{1} aliud quid habebat. — *μερίζεται* post *διακόπτεται* add. V^{u} ex Eustath. — *καίεται*] *δαίεται* P. — *ἐπιρρώστως* P. — *ἐπὶ* om. V^{a}. — *ἐρώσης*] *ἐρώσης* D, *ἐρώτων* M^{a}. — 25 *καὶ* et *μου* om. M^{c} P^{1}. — *ἡ* om. P^{1}.

49 *δυσμόρῳ*: *κακομόρῳ*. H P¹ Q V. *δύμορόν φησι τὸν Ὀδυσσέα ὡς μεγάλα κακὰ παθόντα τῇ πλάνῃ*. H K Mᵃ. — *ταλαπώρῳ, κακοτύχῳ*. Mᵃ. *δυστυχεῖ*. Y.

δή] *ἤδη*. Mᵃ.

δηθά: *πολλά*. V. *ἐπὶ πολύ*. H K M¹ P¹ Y. *κατὰ πολύν*. Eˣ. *χρόνον*. Mᵃ.

φίλων ἄπο: *πόρρω τῶν φίλων*. V. *μακρόθεν*. H Mᵃ. *μακράν*. Q. *χωρίς*. T. *ἀντὶ τοῦ ἄποθεν· διὸ ἐγκλίνεται, ὡς τὸ „ἄπο πλυνοί εἰσι πόληος“* [ζ 40]. H¹.

πέμπα] *βλάβας*. Eˣ Mᵃ.

πάσχει] *ὑπομένει*. Mᵃ.

50 *νήσῳ*] *τῇ λεγομένῃ Θούλῃ*. Mᵃ.

ἀμφιρύτῃ: *τῇ κύκλῳ ὑπὸ θαλάσσης περιρρεομένῃ*. H Mᵃ P Q V. *τῇ ἀμφοτέρωθεν περιρρεομένῃ*. H.

ὅθι: *ἀντὶ τοῦ ὅπου*. V.

ὅθι τ' ὀμφαλός ἐστι θαλάσσης: *μέση τῆς περὶ αὐτὴν θαλάσσης*. H Mᵃ P¹ V. *ἢ τὸ βάθος*. D E H Mᵃ P¹ Vᵐᵘ.

ὀμφαλός: *τὸ μεσαίτατον*. V. *ἤτοι τὸ μέσον*. D E Y.

51 *δενδρήεσσα*] *δένδρα ἔχουσα*. Mᵃ.

θεά] *ἡ*. Mᶜ. — *Καλυψώ*. Mᵃ P.

δ' ἐν] *ἐν δὲ ταύτῃ τῇ νήσῳ*. Mᵃ. — *κατὰ ὑπερβατόν*. Y.

δώματα] *τά*. Y. — *τῆς θαλάττης*. Y.

ναίει: *οἰκεῖ*. Mᵃ V.

52 *Ἄτλαντος*: *πάλαι οὔτιος παραδέδοται φέρων τὸν πόλον ἐπὶ τὸν ὦμον, ὃ ἐστιν ἀδύνατον, ἐν τῷ πόλῳ καὶ αὐτὸν ὄντα. ἀνὴρ δὲ ἐγένετο σοφὸς καὶ κατὰ ἀστρολογίαν πρῶτος καιώπιεσε· προλέγει δὲ χειμῶνας καὶ μεταβολὰς ἄστρων καὶ δύσεις. ἐμυθεύθη δὲ φέρειν ὑφ' ἑαυτὸν τὸν κόσμον*. Mᵃ.

Ἄτλαντος θυγάτηρ] *ἦγουν ἡ Καλυψώ*. Yi.

ὀλοόφρονος: *Κλεάνθης δασύνει· τοῦ* [*γὰρ*] *περὶ τῶν ὅλων φρονοῦντος ἴδιον οὕτως εἰρῆσθαι. ἄμεινον δὲ ψιλοῦντας ἀκούειν, τοῦ τὰ ὀλέθρια καὶ δεινὰ φρονήσαντος· εἷς γὰρ τῶν*

---

1 lm. V. — *δύσμορον φησὶ* H Mᵃ, *δύσμορος* K (qui *φησι τὸν Ὀδυσσέα* om.). — *ὡς μεγάλα κακὰ παθόν* etiam D. — 2 *ταλαπώλον* sic Mᵃ. — 4 *δηθά· πολλά 'a m. multo recentiore habet'* Vᵘ. — *καὶ ἐπιπολύ* Y. — 5 *πόρρω* etiam H K Mᵃ, *καὶ πόρρω* Y. — 6 *ὡς τὸ κτέ.*] *ab Herodiano aliena sunt; nam is hoc Odysseae loco accentum retraxit, quia praepositio a casu suo seiuncta esset'* Lentz Herodian. II p. 130. Cfr. Lehrs Qu. ep. p. 94 sqq. — *πόλως* H. — 10 lm. V (*ΑΜΦΙΡΡΥΤΗ* Vᵃ). — *τῇ* om. Mᵃ. — *ὑπὸ*] *τῇ ὑπὸ* Vᵃ. — *θαλάττης* Q. — *περιρεομένῃ* P; *οὐ γὰρ χερόνησος, ὡς πελοπόννησος* (sic) add. Vᵘ ex Eustathio. — 12 *ὅπου* etiam H Mᵃ. — 13 lm. P¹ V. — *ὅθι τ'* om. P¹. — *ὀμφαλός ἐστι* P¹. — *μέση*] *ὁ μεσαίτατος, ἀνάστιμα μέσον* Mᵃ. — *τῆς*] *τῆς περὶ τῆς* sic P¹. — *ἢ* om. P¹, *ἢ τὸ βάθος* (quae verba in D E post *μέσον* lin. 15 leguntur) om. Vᵃ. — 15 *ἤτοι* om. E Y, *τὸ* om. Y. — 17 *καλυψῶ* P. — 20 lm. V. — 21 Scholium editionum Buttmannianae Dindorfianaeque *Ἄτλαντος θυγάτηρ: Ἡσίοδος δὲ ἐν Θεογονίᾳ* [359] *φησὶ τὴν Καλυψὼ θυγατέρα Ὠκεανοῦ καὶ Τηθύος* non a V, sed a Barnesio talibus saepius ludente profectum est. — *πάλαι*] *πάλ* Mᵃ. — *παραδέδοται*] infra p. 6 lin. 3 *παραδίδοται* traditum. — 22 *ἀστρολογίαν* postea add. Mᵃ. — 25 *ἡ* om. i. — 26 lm. H Mᵃ. — *Κλεάνθης δασύνει* om. Mᵃ. — [*γὰρ*] ipse inserui. — *φρονοῦντος*] *ἢ ὀλεθρίου ἢ τὸν περὶ τῶν ὅλων φρονοῦντα* add. Mᵃ. — *ἴδιον* om. K, *ἴλιον* Mᵃ. — *οὕτως* om. K. — 27 *εἰρῆσθαι* Mᵃ, *ἐπῆσθαι* H, om. K: *νοήσας* coniecerat Dindorf. — *ψιλοῦντας* K. — *ἀκούειν*] *ὅτ' ᾗ* add. Mᵃ. — *τὰ* om. Mᵃ. — *φρονοῦντος* K. — Verba novissima in rasura Mᵃ: erat sine dubio longius schol. a M¹ scriptum, cuius nunc posterior pars sola superest *ἐπὶ πολέμιος τοῖς θεοῖς* etc. Adnotationem *εἷς τῶν τιτάνων ὁ ἄτλας* iterum alio loco exhibuit Mᵃ.

Τιτάνων ὁ Ἄτλας ἱστορεῖται. H K M^{a}. *ὀλοόφρονος: ὀλεθρίου, ἐπεὶ πολέμιος τοῖς θεοῖς. (καὶ γὰρ τοῖς θεοῖς ἐπολέμει.) οἱ δὲ τὸ ἐξῆς, θαλάσσης ὀλοόφρονος. οἱ δὲ ἐδάσυναν, ἵνα ᾖ περὶ τῶν ὅλων φρονοῦντος· αὐτὸς γὰρ ὁ Ἄτλας τὸν κόσμον βαστάζων παραδίδοται. ἢ ἐγέγραπτο κατὰ τὴν ἀρχαίαν γραφὴν [ΟΛΟΟΦΡΟΝ], εἶτά τις μὴ νοήσας προσέθηκε τὸ ος.* D H K M^{1} P^{1} Q V Y. *ἢ τοῦ ὀλεθρίου καὶ κακοῦ, ἢ περὶ τοῦ ὅλου φρονοῦντος.* Y.

ὅστε] *Ἄτλας.* Y.

53 *βένθεα: βάθη.* M^{a} P V.

ἔχει δέ τε: νῦν ἐπιμελεῖται, ὡς κἀκεῖ „καί μοι κῆπον ἔχει πολυδένδρεον“ [δ 737]. ἢ κρατεῖ καὶ βαστάζει. H M^{a} P^{1} V.

κίονας: στύλους. H M^{a} Q V Y. *τὸν ἄξονα ἤγουν τὸν ἥλιον, ὃς ἐπέχει τὸν οὐρανὸν καὶ τὴν γῆν.* D E.

αὐτός] *ὁ Ἄτλας.* P^{1}.

54 *μακράς*] *τοὺς μακρούς.* M^{a}. *μεγάλας.* Y. — *„κίονας“ νῦν προήγαγε θηλυκῶς, ὡς καὶ Πίνδαρος εἶδει ἕκτῳ „χρυσέας κίονας“ ἐν ἀρχῇ τοῦ εἴδους ἤγουν ὕμνου ἕκτου* [Ol. VI in.]. M^{r}. — *ἀπὸ τοῦ μέχρις ἄκρου ἥκειν.* D E.

ἀμφίς] *ἀμφοτέρωθεν τούτου.* H K M^{a} P Q. *ἑκατέρωθεν.* Y. *διακεχωρισμένως.* D E. *ἢ χωρὶς ἢ περί.* T.

ἀμφὶς ἔχουσιν: διείργουσιν. H^{1} H K M^{a} P Q V. *χωρίζουσι.* M^{a}.

55 *τοῦ: τούτου.* M^{a} P V. *τοῦ Ἄτλαντος.* Y.

Θυγάτηρ] *ἡ Καλυψώ.* M^{a}.

δύσιηνον: ἄθλιον. Mª V. — *τὸν Ὀδυσσέα.* M^{a} P Y.

ὀδυρόμενον: ἀποκλαιόμενον. H M^{a} P Q V. *λυπούμενον.* M^{a}.

κατερύκει] *κωλύει.* E^{x} M^{a}. *κρατεῖ.* Y. — *Καλυψὼ δὲ νοήσεις πραγματικῶς γυναῖκά τινα βασίλισσαν, θυγατέρα τινὸς Ἄτλαντος βασιλέως, ἥτις ἱκανὸν χρόνον ἐπεκράτησεν αὐτὸν ἐλπίζουσα τοῦτον ὁμευνέτην οἰκεῖον ἔχειν.* Y i.

---

1 lm. D V Y (*ὁλούφρ.* V^{u}). — *ἢ τοῦ ὀλεθρίου* D, *ἄλλως· ὀλέθριος* H, *ὀλέθριος* Q, om. K M^{1} P^{1}. Inter lineas carminis illud *ὀλεθρίου* habent E H M^{a} P^{1} Q, cui glossae addiderunt E P^{1} *ἐπεὶ πολέμιος οὗτος* [hoc om. P^{1}] *τοῖς θεοῖς.* — *ἐπεὶ πολέμιος τοῖς θεοῖς* om. K (et hoc quidem loco etiam P^{1}). — *καὶ γὰρ τοῖς θεοῖς ἐπολέμει* H Q, *καὶ τοῖς θεοῖς καὶ οὗτος ἐπολέμει* K, om. D M^{1} P^{1} V Y. — 2 *οἱ δὲ τὸ ἐξῆς, θαλάσσης ὀλοόφρονος* om. K Y et hoc quidem loco etiam D, qui vero ea verba in fine scholii habet. — *τὸ* om. P^{1}. — *ἐξῆς* V^{m}, *ἐξ ἧς* P^{1}. — *θαλάσσης. ΟΛΟΟΦΡΟΝΟΣ. οἱ δὲ* sic V^{a}. — *οἱ δὲ ἐδάσυναν, ἵνα ᾖ*] *ἢ τοῦ* D. — *οἱ δὲ*] *τινὲς δὲ* Y. — *ἐδάσυναν*] *δασύνοντες* K. — *ἵνα ᾖ* om. K M^{1}, *ἵν' ᾖ* Y et idem add. M^{a}. — *περὶ*] *ἀπὸ τοῦ* K. — *τῶν ὅλων*] *τοῦ ὅλου* sic P^{1}. — 3 *αὐτὸς γάρ*] *ἐπεὶ αὐτὸς* K. — *ὁ Ἄτλας* om. D Y. — *τὸν κόσμον βαστάζει* D, *παραδίδοται τὸν κόσμον βαστάζειν* K, *παραδίδοται βαστάζειν τὸν κόσμον* Y. — *ἢ ἐγέγραπτο* et quae sequuntur om. D K Y. — *ἐγγέγραπτο* Q, *γέγραπτο* P^{1}, *ἐγέγραπτο* ex *γέγραπται* corr. V^{u}. — *κατὰ*] *παρὰ* H Q. — 4 *ἀρχαίαν* M^{1} P^{1}. — *ὀλοόφρον*, quod codices mei omittunt, add. editiones nonnullae (ex. gr. Elzeviriana a. MDCLV); *ὀλοόφρον* (*ὅ ἐστιν ὀλοόφρων*) exhibet Barnesiana ita praedicans: *hoc scholion ex ms. Gonrillo-Caicensi melius ordinatur et suppletur.*' — *εἶτά τις* et quae sequuntur om. Q. — *εἶτα τὶς* (*τις*) H M^{1} P^{1} V. — *ος*] *ο* H et post rasuram M^{1}. — 7 lm. V. — 8 lm. M^{a} P^{1} V (*δέ τε* om. P^{1}). — *ἐπιμελεῖ* P^{1}. — *κἀκεῖ* H V (*κακεῖ* V^{aim}), *καὶ ἐκεῖ* M^{a} P^{1}. — *πολύδενδρον* P^{1}. — *ἦ*] *ἔχει* add. M^{a}. — 9 Intra versus est: *κρατεῖ καὶ βαστάζει* D, *βαστάζει* M^{a}. — 10 lm. V. — *στύλους* Q. — *τὸν*] praefixum *ἄτλαντος θυγάτηρ· ἡ* D, sed *ἡ* ipse delevit. — *ἤγουν*] *ἤτοι* D. — 15 *ἄκρου* E, *ἄκραν* D. — *ἥκειν*] an *κίειν*? — 16 *ἀμφὸ τὸ* M^{a}, *οἴθειν* add. M^{c}; praefixerunt *ἤγουν* K, *καὶ* P. — *τούτου* om. Mª P. — 18 *διείργουσι* H^{1} M^{a} P V^{w}; *ἢ ἀνέχουσιν καὶ βαστάζουσι* add. V^{u} (sic enim Eustathii *ἀνέχουσι καὶ ἀναβαστάζουσι* corrupit). — 21 lm. V. — *τὸν ἄθλιον ὀδυσσέα* M^{a}. — 22 lm. V. — *λυπούμενον ἀποκλαιόμενον* M^{a}. — *ἀποκλαιόμενον* V^{a}. — 23 *γυναῖκα τινὰ* Yi. — 24 *βασίλισσαν Θυγατέρα* i. — *βασιλέως Ἀτλάντου* sic i. — 25 *ἐλπίζουσαν* i.

56 *αἰμυλίοισι*: *παραλογιστικοῖς. ἢ εὐνοϊκοῖς καὶ οἷον συγγενικοῖς.* D E H J Mª V. *διὰ τὸ λέγειν αὐτῷ συνεχῶς περὶ γάμου· αἷμα γὰρ ἡ συγγένεια.* D E J. *τοῖς μετ' ἐμπειρίας συνετοῖς καὶ προσηνέσιν.* H Mª V. *ἢ ψευδέσιν. ἢ συγγενικοῖς, παρὰ τὸ αἷμα.* M^{a}. *προσηνεστάτοις.* M^{a}. *ἀλιτηριακοῖς.* Y.

57 *θέλγει*: *ἀπατᾷ.* D E^{x} H M^{a} P Q V Y. *κολακείει.* Y.

ἐπιλήσεται: *ἐπιλάθηται.* H M^{a} P V. *ἀμνημονήσει.* M^{a} V.

αὐτάρ] *καί.* Y.

Ὀδυσσεύς] *αὐτὸς ὁ Ὀδυσσεύς.* M^{a}.

58 *ἰέμενος καπνόν*: *τρόπον ἑρμηνείας ἀντίστροφόν φησιν εἶναι ὁ Ναΐρις, ὅταν ἀντιστρέφωσι τὸν σχηματισμὸν αἱ λέξεις, ὡς καὶ τὸ „χασσάμενος [πελεμίχθη“ (Δ 535)] πελεμιχθεὶς ἐχάσσατο, καὶ „κονίσαλος ὦρνυτ' ἀέλλης“ [Γ 13] ἀντὶ τοῦ κονισάλου [ἄελλα], καὶ „παρῴχηκεν δὲ πλέων νὺξ τῶν δύο μοιράων“ [Κ 252], παρὸν οὕτως φάναι, τὸ πλέον τῆς νυκτός, ὅ ἐστι δύο μοῖραι. τὸν αὐτὸν δὴ τρόπον κἀνθάδε, Ὀδυσσεὺς δὲ καπνὸν ἀποθρώσκοντα ἱμειρόμενος ἰδεῖν ἧς γαίης θανέειν ἵεται. τινὲς δὲ λείπειν φασὶ τὸ τοίτου τυχών.* D H J M^{a} Q R. — *ἐπιθυμῶν.* M^{1}. *προθυμούμενος.* Y. *ἐφιέμενος.* E.

καπνόν] *τόν.* Y.

ἀποθρώσκοντα] *ἀποπηδῶντα.* E^{x} Mª Y. *ἐξερχόμενον.* M^{a}.

νοῆσαι] *ἰδεῖν.* D M^{a} P T Y. *θεάσασθαι.* M^{a}. — *μετάληψις αἰσθήσεως.* Y.

59 *καὶ καπνὸν ἀποθρώσκοντα νοῆσαι ἧς γαίης: ἐνταῦθα στικτέον· τὸ γὰρ ὅλον, ὁ πρότερον ἐπιθυμῶν καπνὸν τῆς πατρίδος ἰδεῖν νῦν εἴχεται διὰ τὰ καιέχοντα τελευτῆσαι.* D H M^{a} Q V. *ἥδιστ' ἂν ἀποθάνοι ὁ Ὀδυσσεὺς μόνον ἰδὼν τὸν τῆς πατρίδος καπνόν.* D. E.

οὐδέ νυ σοί περ: οὐδὲ σοῦ τὸ ἦτορ ἤτοι ἡ ψυχὴ ἐπικάμπτεται εἰς οἶκτον τοῦ Ὀδυσσέως. H Mª Q. — *τοῦτο δέ ἐστιν ἔμψυχος λόγος καὶ γλυκύς.* Y. — *οὐδαμῶς οἶν σον.* M^{a}.

νυ] *δή.* M^{a}.

σοί] *σοῦ.* D Mª Y. — *ἀντίπειωσις.* M^{a}.

---

1 lm. D J M^{a} V (*αἰμυλίοισι* V^{u}, *αἰμυλιοισι* V^{m}, *αἰμυλίοις* J, *αἰμυλίοις* D); *ἀπατηλοῖς* add. M^{a}, qui inter lineas quoque scripsit *συγγενικοῖς ἀπατηλοῖς.* — *εὐνοϊκοῖς*] *ἢ συνετοῖς καὶ προσηνέσι* add. H. — *καὶ οἷον συγγενικοῖς* om. Q. — 2 *'Nimirum ab αἷμα derivat: in ultima autem explicatione (deest enim ἢ ante τοῖς) ab αἷμων.'* Buttm. — *τοῖς*] *καὶ* H. — *ἐμπειρίαν* H. — 3 *προσηνέσι* H, *προσνέσιν* M^{a}. — *ψευδέσσιν* M^{a}. — *εὐνητικοῖς προσαντιστάτοις* sic M^{a}. — 5 lm. V (*ΘΕΛΓΕΙ* V^{a}). — 6 lm. V. — *ἐπιλάθη* H. — *ἀμνημονεύσει* M^{a}. — 9 *ἱέμενος καπνὸν* H Q, *ἱέμενος* M^{a}, om. D J. — *ἀντίστροφον φησὶν εἶναι ὁ χάρις* [*-ις* J] H J M^{a}, *ἀ. φησὶν οὖν ὁ χάρις* D, *ἀ. φησὶν εἶναι* Q R. — *ὁ Ναΐρις* om. Cobet. — *ὅτ' ἂν* M^{a}. — *ἐντιστρέφωσι* D J M^{a}, *ἀναστρέφωσι* H Q R. — 10 *ὡς καὶ*] *καὶ ὡς* M^{a}, *καὶ* D H J Q R. — *„χασσάμενος πελεμίχθη“ πελεμιχθεὶς*] *χασάμενος πολεμιχθεὶς* sic omnes codd. (*χασσ.* R), quod correxi: cfr. Polak Cur. sec p. 345. — *ἀντὶ τοῦ ἐχάσσατο* Q R, *ἐχάσατο* D J. — 11 *καὶ* M^{a}, om. cet. — *κονίσαλος* H J Q R — *ὦρνυτ'*] *αἴρυτ'* Q R. — *ἀλλὴς* D J. — *κανισσάλον* D Q R et c corr. J. — [*ἄελλα*] inscruit Polak l. l., quem secutus sum, cum Chaeris manifesto vocem *ἀελλης* pro genitivo habuerit. — *καὶ παρῴχικεν . . . δύο μοῖρα*] om. D J. — *παρώχικε* H M^{a} Q R. — *δὲ* om. H Q R. — *πλέω* M^{a}, *πλέον* Q R. — 12 *δύο*] *β'* Q. — *φᾶναι* H Q R. — *ὅ ἐστι* om. H Q R. — *μοῖρας* H Q. — 13 *δή* om. D H J Q. — *κἀνθάδε*] *κἀνταῦθα* M^{a}. — *δὲ* om. D J. — *θανεῖν* M^{a}. — 14 *ἵεται* Buttm. pro *ἱμείρεται.* — *λείπειν* M^{a}, *λιπεῖν* H. — *τυχών* om. D H J Q. — 17 *ἀπαπιδὼν* E^{x}, *πιδὼντα* M^{a}. — 18 *καὶ ἰδεῖν* P, *ἀντὶ τοῦ ἰδεῖν* Y. — 19 *καὶ*] *ἱέμενος* M^{a}, *ἱέμενος* H Q, om. D. — *καπνὸν ἀποθρώσκοντα* om. D M^{a}. — *νοῆσαι* om. D H Mª Q. — *ἧς γαίης* om. D M^{a}. — *ἐνταῦθα στικτέον* om. D. — *ἐνταῦτα* V^{m}. — *τὸ γὰρ ὅλον*] *ὁ νοῦς τοιοῦτος* D. — 20 *πρότερον*] *μόνον* add. M^{a}. — *καπνὸν*] *καὶ γῆν* H Q. — *τῆς πατρίδος ἰδεῖν*] *ἰδεῖν ἐκ τῆς ἰδίας γῆς ἀναχώσαντα καὶ θανεῖν* M^{a}. — *κατέχοντα*] *κακὰ* add. D M^{a}. — 21 *ἡ ἥδιστα ἂν θάνοι* D, qui *ὁ* om. — *μόνον*] *καὶ μόνον* D. — *τὸν*] *ἐκ* D. — 22 *ἦτον* H, *ἤγουν* M^{a}, *ἢ* Q. — 23 *τοῦτο κτέ.*] haec in dextro paginae margine; in sinistro est: *τοῦτο λέγεται ἔμψυχος λόγος* [*καὶ* detritum] *γλυκύς* Y. — 25 *καὶ σοῦ* Y.

60 *ἐνιρέπεται*: *μεταιροπὴν λαμβάνει*. H K M^{b} P T V. *ἦγουν ἐπιστροφὴν ποιεῖται*. E. *μεταιρέπεται, μεταβάλλεται*. M^{a}. *ἐκτρέπεται*. Y. — *περὶ τούτου*. Y.

φίλον ἦτορ] *καὶ ἡ ἀγαπητικὴ ψυχή. ἢ ἡ προσφιλής*. Y.

Ὀλύμπιε] *ὦ*. M^{c}. *οὐράνιε Ζεῦ*. M^{a}.

οὔ νύ τ' Ὀδυσσεύς] *οὐχὶ ὁ Ὀδυσσεύς*. M^{a}. — *ἀπὸ κοινοῦ*. Y.

οὕνεκ'] *ἐπειδή*. M^{c}. — *καὶ τὸ φίλον ἦτορ σοῦ οὐχὶ ἐπιτρέπεται, ὅτι ὁ Ὀδυσσεὺς . . .* Y.

61 *Ἀργείων*] *Ἑλλήνων*. M^{a}.

νηυσί] *ταῖς*. M^{a}.

χαρίζετο ἱερὰ ῥέζων] *κεχαρισμένα ἔθυεν*. M^{a}.

οἵ νύ τ' Ὀδυσσεὺς Ἀργείων παρὰ νηυσὶ χαρίζετο ἱερὰ ῥέζων: ἐκεῖνος μὲν τὰ παρ' αὐτοῦ ἐπιθύων, σὺ δὲ οὐ κεχαρισμένως ἐλάμβανες. M^{a} V.

χαρίζετο] *ἀρεστὰ ἐποίει σοι*. Y.

ἱερά] *ἀντὶ τοῦ θυσίας*. Y.

ῥέζων: *θύων*. E V. *πράττων*. V.

62 *εὐρείῃ*: *πλατείᾳ*. M^{a} V.

τί νύ οἱ: *τί αὐτῷ· τὸ τοσοῦτον ὠργίσθης, ὦ Ζεῦ;* H Q R. *τί νύ οἱ*: *διὰ τί δὴ αὐτῷ*. H M^{a} P V. — *τί νυ οἱ τόσον*: *μία ὀξεῖα μόνη* [*ἐπὶ*] *τὸ „τί νυ οἱ“· τὰ γὰρ παράλληλα ἐγκλιτικά, καὶ μάλιστα ὅταν εἰς φωνῆεν λήγῃ, προφάσει τῶν δύο βραχειῶν οὐκ ἐγείρει τὸν τόνον*. H^{1} M^{a}.

ὠδύσαο: *ἐχολώθης*. M^{a} P V. *ὠργίσθης*. H^{1} M^{1} V Y. *ἢ ἀπεδίωξας*. M^{a}. *ὠργίσθης ἢ προσέκρουσας· τῷ γὰρ ὀδύσασθαι ῥήματι ἐπὶ τοῦ προσκροῦσαι ἐχρῶντο οἱ παλαιοί*. D E^{2}. — *ὀδύσσω τὸ ὀργίζομαι, καὶ τὸ παθητικὸν ὀδύσσομαι, καὶ ὁ παραταικὸς ὠδυσσόμην ὠδύσσον καὶ Ἰωρικῶς ὠδύσσαο*. Y i.

63 *τήν*] *πρὸς Ἀθηνᾶν*. M^{a}.

ἀπαμειβόμενος] *ἀνταποκριθείς*. M^{1}.

νεφεληγερέτα] *ὁ ἰὰς νεφέλας συνάγων*. M^{a}. *ὁ συναθροίζων τὰς νεφέλας*. Y. — *καλῶς τὸν Δία νεφεληγερέτην φασί· Ζεὺς γὰρ λέγεται ὁ ἀήρ· τῶν δὲ ἀναθυμιάσεων πυκνουμένων ἐν τῷ ἀέρι ἀγείρονται αἱ νεφέλαι, καὶ διὰ τοῦτο νεφεληγερέτην τὸν Δία φασίν*. D E^{2} J. — *τῶν Ἀρυόντων ἐστὶ τὸ τὴν κλητικὴν ἀντὶ εὐθείας λέγειν*. M^{c}.

Ζεύς] *ἤτοι ὁ Μέντης ὁ βασιλεύς*. Y.

---

1 lm. V. — 6 *ἐπειδή*] hoc ex glossa illa *οὐχὶ* (M^{a}) restituit M^{c}; idem in textu *οὕνεκ'* pro *οὔ νύ τ'* correxit. — 10 *οἵ νύ τ' . . . ἱερὰ*] om. M^{a}. — *οἵ νυ τ'* [sic etiam V^{mu}] *ὀδυσσεὺς ἀργείων παρὰ νηυσὶ χαρίζετο. ΙΕΡΑ ΡΕΖΩΝ* sic V^{a}. — *χαρίζεται* V^{mo}. — *μὲν*] *γὰρ* add. M^{a}. — 11 *κεχαρισμένος* M^{a} V^{a}. — *ἐλάμβανες*] *ἐπίτασιν τοῦ εὐσεβοῦς ἔχον· οὐ γὰρ ἐν ἰθάκῃ ἔθυεν, ἐνθα ἐπλούτει, ἀλλὰ ἐπὶ ξένης, ἔνθα ὡς εἰκὸς ἐχρῆν φείδεσθαι καὶ εὐσεβεῖν* add. V^{u} ex Eustath. 1391,48. — 14 et 15 lm. V. — 15 *πλατεῖα* V^{am}. — 16 *τι νυ οἱ* H, *ὠδύσαο ζεῦ* R, om. Q. — *τὸ* om. Q R. — lm. V (*τί νυ οἱ* V^{mu}). — *διατί* H V^{a}, *καὶ διατί* P (sic etiam Y), qui *δὴ* om. — *διὰ τί* etiam E^{2}, *διατί* D, *διατι* M^{c}. — 17 lm. M^{a}. — *μάτην ὀξεῖα* M^{a}. — [*ἐπὶ*] ipse inserui. — *τὸ τί νυ αι* sic H^{1}, om. M^{a}. — 18 *ἐγκλιτικά* H^{1} M^{a}. — *ὅτ' ἂν* M^{a}, *ὅτι* H^{1}. — *λ'ᾖ* H, *λήγει* M^{a}. — *δύο*] *β* H. — 19 *βραχέων* M^{a}. — 20 lm. V (*ΩΔΥΣΣΑΟ* V^{a}). — *καὶ ἐχολώθης* P. — 21 *τοῦ*] *τὸ* D. — *προκρουσαι* D. — *οἱ πάλαι* D. — 22 *ὀδυσσόμην ὀδύσσον κ. δ. ὀδύσσαο* Y i: fort. *καὶ ὀδύσαο* addendum. — 25 *ἀποκριθεὶς* M^{1}, *ἀντι* praefixit M^{a}. — 27 *φασί*] sic omnes. — *πυκνουμένων* D J, *πυκνὸν μεν* E^{2}. — 28 *ἀγείρονται* D J, *ἠγείρονται* E^{2}. — *διατοῦτο* D. — *φασίν* D J, *φασί* E^{2}. — 29 *τὴς κλητικὴν* sic M^{c}.

UNIVERSITY OF ILLINOIS-URBANA
881H80.YLU2 C001
SCHOLIA IN HOMERI ODYSSEAE REGIMONTII
3 0112 023802918